ταμάθω, μετὰ φιλομαθοῦς προθυμίας ἄσμενος ἀκούσω, καὶ τοὺς βέλτιον φρονοῦντας ἐπαινεῖν οὐκ ὀκνήσω. Καιρὸς οὖν ἀκριβῶς ζητεῖν τὰς τῆς εἰσθέσεως, τῆς ἐπεισθέσεως, τῆς ἐκθέσεως, τῆς ἐπεκθέσεως, τῆς παρεκθέσεως, καὶ τῆς ὑποθέσεως σημασίας, ἵνα τούτων ἀλήθειαν, καὶ χρῆσιν ἐκ τῶν ὑπαρχόντων εὑρεῖν, καὶ νοεῖν δυνηθῶμεν. ταῦτα γὰρ ἡμᾶς οὐκ ὀλίγων, οὐδὲ μικρῶν ἀπορημάτων, καὶ δυσχερειῶν ἀπαλλαχθέντας εὐφρανοῦσι. περὶ δὲ τῶν προβλημάτων, ὧν ἐξήγησιν σαφεστέραν ζητοῦμεν, ἐκ τῆς ἐπιτηρήσεως τῶν παλαιῶν Ἀριστοφάνους σχολίων ὑπ' ἐμοῦ σπουδαίως ἀναγνωσθέντων, τὰ πιθανῶς ἔχειν φαινόμενα δηλώσω. τὸ τῆς εἰσθέσεως ὄνομα τοῖς δράμασιν ἐφαρμοσθὲν, καὶ πρώτην εἴσοδον, εἴτε ἀρχὴν σημαῖνον εὑρίσκω. ὥσπερ δὲ ἐν τοῖς πεζοῖς τῶν λόγων ἔστιν ὅτε πλείω προοίμια ἐν διαφόροις τοῦ αὐτοῦ λόγου χωρίοις διὰ τὰς καινὰς καινῶν πραγμάτων ἐξηγήσεις τίθεται, οὕτω καὶ ἐν τῷ αὐτῷ δράματι πλείους εἰσθέσεις ἐν διαφόροις αὐτοῦ μέρεσι κατ' ἀρχὰς ὡς καινὰ καινῶν μερῶν προοίμια ἐν τοῖς σχολίοις τεθείσας εὑρήσεις. ἀλλαχοῦ δὲ τῷ τῆς εἰσθέσεως ὀνόματι δηλοῦται καινόν τι καινῶν ἐπῶν, καὶ στίχων σύστημα, καὶ συνάθροισμα μετὰ τὸ πρῶτον ἐν τῷ αὐτῷ δράματι κείμενον, ὃ τῶν προηγουμένων ἢ συγκατάθεσιν, καὶ βεβαίωσιν, ἢ εἱρμὸν, καὶ συνέχειαν, ἢ ἐπεξήγησιν, ἢ καινοῦ τινος πράγματος καινὴν ἀπόφανσιν ἐπιδείκνυσι. μετὰ δὲ τὴν εἴσθεσιν πολλάκις ἡ ἐπείσθεσις ἐπιφέρεται, ἣ δεύτερόν τι λόγου μέρος τῇ τάξει μόνον (ὡς ἐκ τῆς ἐπὶ προθέσεως, ἐξ ἧς ἡ λέξις σύγκειται) τῆς εἰσθέσεως διάφορον σημαίνειν δοκεῖ. μετὰ δὲ τὴν ἐπείσθεσιν ἡ ἔκθεσις, μετὰ τὴν ἔκθεσιν ἡ ἐπέκθεσις, μετὰ τὴν ἐπέκθεσιν ἡ παρέκθεσις, μετὰ δὲ τὴν παρέκθεσιν ἡ ὑπόθεσις τὸ πάντων τέλος δηλοῦσα. τούτων δὲ πάντων οὐδεμίαν ἐξήγησιν, οὐδεμίαν χρήσεως μέθοδον, ἀλλὰ πλείστην σύγχυσιν, καὶ κατάχρησιν ἐν πλείστοις τῶν παλαιῶν σχολίων χωρίοις τὰ γραφόμενα σκοπῶν ἴδοις. καὶ γὰρ ἄλλοτε μὲν ἡ ἔκθεσις τῇ εἰσθέσει ταυτὸ δύνασθαι φαίνεται. ἄλλοτε δὲ ἡ ἔκθεσις τῇ εἰσθέσει ὡς τὸ τέλος τῇ ἀρχῇ ἀντίκειται. καὶ, εἰ τὰ τῶν ἀντιγράφων καλῶς ἔχει, ἡ ἔκθεσις ἀντὶ τῆς εἰσθέσεως λαμβάνεται, οἷον ἡ τῆς διπλῆς ἔκθεσις. ὃ γὰρ τῆς διπλῆς ἔκθεσις καλεῖται, τοῦτο καὶ τῆς διπλῆς εἴσθεσις πολλάκις συνωνύμως ἔοικε κληθῆναι. εἰ μή τις ἴσως ἔκθεσιν ἐνταῦθα ταυτὸ τῇ πραγμάτων τινῶν ἐξηγήσει δηλοῦν εἴποι, πρὸς ὃν φιλονείκως οὐ διαμαχοῦμαι. ἀντὶ δὲ τοῦ τέλους ἀναμφιλέκτως καὶ διαρρήδην λαμβάνεται, ὅπου τὸ τοῦ δράματος τέλος, δράματος ἔκθεσις καλεῖται, ἡ ἔκθεσις τοῦ δράματος, τοῦ δράματος ἐπίλογος καλεῖται, ταυτέστι τὸ τελευταῖον μέρος, ᾧ τὸ δρᾶμα τελειοῦται. ἐπίλογος μέντοι, καὶ ἔκθεσις, καὶ ὑπόθεσις οὐ μόνον ἐν τῷ τελευταίῳ τοῦ δράματος μέρει, ἀλλὰ καὶ ἐν τοῖς προηγουμένοις ὡς αὐτῶν συμπέρασμα, καὶ τέλος πολλάκις εὑρίσκεται. ὅταν δὲ ἡ ἔκθεσις ἀντὶ τῆς εἰσθέσεως, καὶ ἀρχῆς τινος λαμβάνεται, τότε αὐτῇ ὡς ἀρχῇ, καὶ στρατιώτῃ πρώτην ἐχούσῃ τάξιν ἡ ἐπέκθεσις οἱονεὶ δευτέρας τάξεως στρατιώτης συλλήπτωρ ἐπιφέρεται ταυτὸ τῷ προηγουμένῳ ποιήσων. καὶ γὰρ ἀμφότερα διάφορον μὲν ὄνομα, καὶ τάξεως ἀξίωμα, δύναμιν δὲ τὴν αὐτὴν ἔχει, ὡς ἐκ τῆς εἰσθέσεως, καὶ τῆς ἐπεισθέσεως τεκμαίρεσθαι δυνάμεθα. ἐὰν δὲ ἡ τῶν πραγμάτων πραγματεία ἑρμηνείας σαφεστέρας χρείαν ἔχῃ, καὶ στίχους πλείους ἀπαιτῇ, ὥστε μακροτέρας ῥήσεως τῷ ποιητῇ δεῖν, ἕπεται ἡ παρέκθεσις, οἱονεὶ τῶν λεγομένων παρέκτασις, ἣ τοὺς λόγους παρεκτείνει, καὶ μηκύνει. ὅταν δὲ ἡ γνώμη, καὶ τὸ πᾶν τὴν ἑαυτοῦ τελείωσιν ἔχει, τότε δὴ ἡ ὑπόθεσις, ὡς κατάληξις, καὶ πάντων συμπέρασμα τίθεται. σημείωσαι δὲ τὴν ἔκθεσιν, καὶ τὴν διαστολὴν ἐκ παραλλήλου ἐνίοτε λαμβάνεσθαι, ὅπου τὰ λεγόμενα οὕτως ἔχει, διαστολὴ δὲ, καὶ ἔκθεσις τοῦ δράματος τοιάδε. ὥσπερ δὲ λέγεται ἔκθεσις, ἐπέκθεσις, παρέκθεσις, οὕτω καὶ λεκτέον δοκεῖ εἴσθεσις, ἐπείσθεσις, παρείσθεσις. ἀλλὰ τὸ τῆς παρεισθέσεως ὄνομα (ὅσον μέμνημαι) οὐκ ἐν χρήσει. πολλάκις δὲ ταῦτα τὰ ὀνόματα ἐν παλαιοῖς σχολίοις συντετάρακται, καὶ ἄλλα ἀντ' ἄλλων κακῶς γράφεται. εἰ δὲ ἡ τούτων σύγχυσις, καὶ τὸ ἄδηλον τοὺς ἐμπειροτάτους ταράσσει, τοὺς ἀπειροτέρους πολὺ μᾶλλον ταράξει, καὶ πρὸς πλείστην ἀμηχανίαν ἀπάξει. τούτων οὕτως ἐχόντων ἰστέον τέσσαρα εἶναι δράματος ἑκάστου κύρια μέρη, εἴτε οὐσιώδη, εἴτε καὶ οὐκ οὐσιώδη. καὶ γὰρ πρὸς τὴν παροῦσαν πραγματείαν ἡ ταύτης τῆς ἀμφισβητήσεως ἀναζήτησις οὐδὲν ποιεῖ. τὸ δὲ πρῶτον, πρόλογος καλεῖται, τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ. τὸ δεύτερον, χορικὸν, τὸ τοῦ χοροῦ διδόμενον μέλος. τὸ τρίτον, ἐπεισόδιον, τὸ μεταξὺ δύο χορικῶν μελῶν. τὸ τέταρτον, ἔξοδος, τὸ τοῦ χοροῦ ἐπὶ τῷ τέλει λεγόμενον. ἀλλ' ὅμως οὔτε ἡ εἴσθεσις, οὔτε ἡ ἐπείσθεσις, οὔτε τὰ λοιπὰ ἐν τοῖς τοῦ δράματος μέρεσιν ἐξεταστέα, μᾶλλον δὲ τάξιν τινὰ, καὶ ποιότητα μέρους ἑκάστου σημαίνει. οὐκ ἀεὶ δὲ ταῦτα πάντα ἐν τῷ αὐτῷ δράματι τίθεται. ὥσπερ γὰρ ἔν τισι τῶν Πινδάρου εἰδῶν στροφαὶ ἄνευ ἀντιστροφῶν, καὶ στροφὰς, καὶ ἀντιστροφὰς ἄνευ ἐπῳδῶν εὑρίσκομεν, οὕτω καὶ πολλάκις ἂν εὕροις μόνον ἐν δράμασιν εἴσθεσιν, ἔκθεσιν, παρέκθεσιν, καὶ ὑπόθεσιν. καὶ τότε κατὰ τὴν τῶν νεωτέρων διαίρεσιν ἡ εἴσθεσις τῷ προλόγῳ, ἡ ἔκθεσις τῇ προτάσει, ἡ παρέκθεσις τῇ ἐπιτάσει, ἡ ὑπόθεσις τῇ καταστροφῇ κατά τινα ἀναλογίαν τινὰ ἰσοδυναμεῖν δοκεῖ. ὅπερ οὐ παντελῶς ἀπίθανον. ἰστέον δὲ καὶ ταύτας τὰς λέξεις οὐ μόνον γενικῶς ἑκάστας ἑκάστοις τοῦ δράματος προειρημένοις μέρεσι χωρὶς προσαφθείσας ἁρμόζειν, ἀλλὰ καὶ ἐν ἑκάστῳ τῶν τεσσάρων μερῶν, καθάπερ ἐν τοῖς παλαιοῖς σχολίοις πολλάκις ὁρῶμεν, ἑξῆς τεθείσας εὑρίσκεσθαι. καὶ τοῦτο εὔλογον. ἕκαστα γὰρ τοῦ δράματος μέρη χωρισθέντα τὴν ἰδίαν εἴσθεσιν, καὶ πρώτην εἴσοδον, ὡς τοῦ λόγου ἀρχὴν ἔχει, τὴν ἔκθεσιν, ὡς προχώρησιν, καὶ τῶν γραφομένων ἐναργε-